Εἴτ' ἔστ' ἔτι ζῶν, εἴτ' ἀπόλωλ' Εὐριπίδης. A

Μν. Καὶ πῶς; ἐπεὶ νῦν γ' οὔτε τὰ δικαστήρια
Μέλλει δικάζειν, οὔτε βουλῆς ἐσθ' ἕδρα.
Ἐπεὶ τρίτη 'στὶ Θεσμοφορείων ἡ μέση.
Ευ. Τοῦτ' αὐτὸ γάρ τοι κἀπολεῖν με προσδοκῶ.
Αἱ γὰρ γυναῖκες ἐπιβεβουλεύκασί μοι,
Κἀν θεσμοφορείοιν μέλλουσι περὶ 'μοῦ τήμερον B
Ἐκκλησιάζειν ἐπ' ὀλέθρῳ. Μν. τιὴ τί δή.
Ευ. Ὁτιὴ τραγῳδῶ καὶ κακῶς αὐτὰς λέγω.
Μν. Νὴ τὸν Ποσειδῶ καὶ δίκαι' ἂν πάθοις.
Ἀτὰρ τίν' ἐκ ταύτης σὺ μηχανὴν ἔχεις.
Ευ. Ἀγάθωνα πεῖσαι τὸν τραγῳδοδιδάσκαλον
Ἐς θεσμοφορεῖ' ἐλθεῖν. Μν. τί δράσοντ' εἰπέ μοι. C
Ευ. Ἐκκλησιάσοντ' ἐν ταῖς γυναιξὶν, κἂν δέῃ
Λέξονθ' ὑπὲρ ἐμοῦ. Μν. πότερα φανερὸν ἢ λάθρᾳ;
Ευ. Λάθρᾳ στολὴν γυναικὸς ἠμφιεσμένον.
Μν. Τὸ πρᾶγμα κομψὸν, καὶ σφόδρ' ἐκ τοῦ σοῦ τρόπου.
Τοῦ γὰρ τεχνάζειν, ἡμέτερος ὁ πυραμοῦς.
Ευ. Σίγα. Μν. τί δ' ἔστιν. Ευ. Ἀγάθων ἐξέρχεται. D

A *Siue est adhuc viuens, siue perijt Euripides.*
*Ev. Et quomodo? quoniam nunc quidem neque iudicia*
*Iudicatura sunt, neque senatus erit sedes,*
*Quoniam tertia est dies Cerealium media.*
*MN. Hoc ipsum enim,*
*Et perire me expecto.*
*Mulieres enim insidiatæ sunt mihi,*
B *Et in sacris Cereris futuræ sunt hodie*
*Concionari de cæde mea. Ev. qua de causa verò?*
*MN. Quoniam Tragœdias facio, & malè ipsis dico.*
*Ev. Per Neptunum vel iusta patereris.*
*Sed quámnam ex hac die tu machinationem habes?*
*MN. Agathonem persuadere Tragicum poetam*
*Ad sacra Cereris ire. Ev. Quid facturum? dic mihi.*
C MN. *Concionaturum inter mulieres. & si opus fuerit*
*Dicturum pro me.* Ev. *Vtrum manifesto, an clàm?*
*MN. Clàm veste mulieris indutum.*
*Res venusta & valde ex tuis moribus.*
*Machinandi enim nostra est placenta.*
D Ev. *Tace.* MN. *Quid verò est?* Ev. *Agatho egreditur.*

Bovrdinvs. Καὶ πῶς] λέγει γὰρ ὁ Εὐριπίδης πῶς οἷόν τέ ἐστι ταύτην τὴν κρίσιν, τῇδε θ' ἡμέρᾳ γίνεσθαι περὶ Εὐριπίδους. καὶ γὰρ δεῖ αὐτὸν κρίνεσθαι ἢ ἐν τοῖς δικαστηρίοις, ἢ ἐν τῇ βουλῇ, ἀλλὰ τήμερον οὔτε τὰ δικαστήρια δικάζει, οὔθ' ἕζεται ἡ βουλὴ ἐπὶ τὸ βουλεύσασθαι περὶ πραγμάτων τῆς πόλεως, καὶ περὶ τῶν ἁμαρτημάτων δοκιμασίαν ἢ ἐξέτασιν ποιεῖσθαι. ὅτι τήμερον τρίτη ἐστὶ θεσμοφορίων ἡ μέση, ἐν ᾗ ἡμέρᾳ παρὰ τοῖς Ἀθηναίοις οὐδὲ δικαστήρια ἐδίκαζον, οὔτε συνεκαλεῖτο βουλὴ, ἀλλὰ σχολὴν ἦγον. Βουλῆς ἕδρα] ἕζεται, καὶ συγκαλεῖται τήμερον ἡ βουλή. Ἐκκλησιάζειν] ἐκκλησίαν συνάγειν, καὶ βουλεύεσθαι ἐπὶ τῷ ὀλέθρῳ, ἐπὶ τῷ ἀπολλύειν με. Τιὴ τί δή] διὰ τί δή. Τραγῳδῶ.] ἐν ταῖς τραγῳδίαις λοιδορῶ, καὶ διασκώπτω, καταγελῶ τ' αὐτάς. ταῦτα δὴ συναρμόττει τῷ Εὐριπίδῃ, ὅστις ἐπὶ κακολογίαις τῶν γυναικῶν ἐν ταῖς τραγῳδίαις πολὺς ἦν. Μηχανὴν ἔχεις] τί δὴ μηχανᾷ, τί διανοεῖ καὶ λογίζει πρὸς τοῦτο. Τραγῳδοδιδάσκαλον] διδάσκοντα τὰς τραγῳδίας, παρὰ γὰρ τοῖς παλαιοῖς διδάσκαλος ἐκαλεῖτο πᾶς ὁ ἐνεργῶν τι περὶ τὴν δραματοποιΐαν καὶ τῶν κυκλίων χορῶν παρασκευήν. Λέξονθ'] ἀπολογησόμενον ὑπὲρ ἐμοῦ. Στολὴν γυναικός.] ἐσθῆτα περιδυθέντα. Πρᾶγμα κομψόν] εὔσχημον καὶ πανούργως ἐπιχαίρως τε συντεταγμένον. Πυραμοῦς.] εἶδος πλακοῦντος ἐκ μέλιτος ἑφθοῦ καὶ πυροῦ πεφρυγμένου, ὃν εἰώθασι τιθέναι ἆθλον τοῖς διαγρυπνοῦσιν ἐν τοῖς συμποσίοις, καὶ διαγρυπνήσας μέχρι τῆς ἕω, πυραμοῦντ' ἐλάμβανε. ἐντεῦθεν γὰρ λέγει μεταφορικῶς πλακοῦντα τὸ τεχνάζειν τὸ διαφέροντα, βραβεύοντα, καὶ ἀρχηγὸν τοῦ τὰς τεχνὰς ποιεῖσθαι. Πανουργεύεσθαι, ἀπατηλόν τε τι μηχανᾶσθαι καὶ κατασκευάζειν.

Bisetvs. Ἐπεὶ τρίτη 'στι, Θεσμοφορίων ἡ μέση.] ἐκ τούτων τινὲς ἀξιοπίστως τεκμαίρονται τὴν τῶν Θεσμοφορίων ἑορτὴν πέντε ἡμερῶν γίνεσθαι, ἐπείπερ ἡ τρίτη ἦν μέση. Ἡσύχιος μέντοι τούτου μνημονεύων ταῦτα λέγει. ζητεῖται πῶς ἅμα μὲν λέγει τρίτην Θεσμοφορίων εἶναι, ἅμα δὲ μέσην, τεττάρων οὐσῶν ἡμερῶν. Τοῦτ' αὐτό.] ταῦτα οὕτω σύνταξον. προσδοκῶ γάρ τοι καὶ τοῦτ' αὐτὸ ἀπολεῖν, τουτέστιν ἀπολέσειν ἐμέ. Κἀν Θεσμοφόροιν.] τὸ πλῆρες, καὶ ἐν Θεσμοφόροις. ταῦτα δὲ μετωνυμικῶς ληπτέον δοκεῖ, ἀντὶ τοῦ ἐν τοῖς Θεσμοφορίοις, τουτέστιν ἐν τῇ ἑορτῇ τῶν Θεσμοφορίων τῶν τελουμένων εἰς τὴν τιμὴν τῆς Δήμητρος, καὶ τῆς Κόρης, ἤγουν τῆς Περσεφόνης. E θεσμοφόρους δὲ αὐτὰς καλεῖ, ὅτι ἡ Δημήτηρ πρώτη τοῖς ἀνθρώποις θεσμοὺς εἴτε νόμους ἐνεγκεῖν πεπίστευται. ὁ δὲ τῆς μητρὸς ἴδιον, τοῦτο κατά τινα κοινωνίαν τιμῆς τῆς ἀμφοῖν κοινῆς καὶ τῇ τῆς Δήμητρος θυγατρὶ προσάπτεται. πιθανὸν δὲ καὶ τροπικῶς αὐτὸν τὸν τόπον νοεῖσθαι, εἰς ὃν αἱ γυναῖκες Θεσμοφόρια τελέσουσαι συνῆλθον. καὶ τοῦτο δῆλον ἐξ ὧν ἐν ταῖς Ἐκκλησιαζούσαις περὶ γυναικῶν λέγεται,

κοὐτ' ἀπόρρητ' ἔφη

F Ἐκ Θεσμοφόροιν ἑκάστοτ' αὐτὰς ἐκφέρειν.

Τραγῳδῶ.] ἐν ταῖς μου τραγῳδίαις αὐτὰς κακῶς λέγω. φανερὸν δὲ, φανερῶς. Ἡμέτερος ὁ πυραμοῦς.] πυραμοῦς, εἶδος πλακοῦντος ἐκ μέλιτος ἑφθοῦ, καὶ πυροῦ πεφρυγμένου ὡς σησαμοῦς ὁ διὰ σησάμου. ταῦτα δὲ ἐτίθεσαν ἆθλα τοῖς διαγρυπνηταῖς ἐν τοῖς συμποσίοις. καὶ ὁ διαγρυπνήσας μέχρι τῆς ἕω ταῦτα ἐλάμβανεν ἔπαθλον. Σ. τινὲς δὲ καὶ ἐν τοῖς Θεσμοφορίοις τὸν πυραμοῦντα ταῖς διαγρυπνησάσαις γυναιξὶν ἔπαθλον δεδόσθαι λέγουσιν. ὁ G γὰρ τούτων νοῦς ἐστιν. ἐγώ, φησὶν Εὐριπίδης, τοῦ τεχνάζειν, καὶ κωμνολομεῖν ἀεί τι καλῶς, ἁπάντων εἰμὶ ἐμπειρότατος. τοιγαροῦν δεῖ με τὸν πυραμοῦντα τῆς νίκης ἔπαθλον λαμβάνειν. διὰ τὴν τῆς ἐμῆς καλῆς κωμνολομίας,